## ΧΟΡΟΣ. ΑΘΗΝΗ. ΟΡΕΣΤΗΣ. ΑΠΟΛΛΩΝ. ΚΗΡΥΞ. ΔΙΚΑΣΤΑΙ.

Ἀθήνη

Κήρυσσε, κήρυξ, καὶ στρατὸν κατεργάθου.
ἥ τ' οὖν δὲ διάτορος Τυρσηνικὴ
σάλπιγξ, βροτείου πνεύματος πληρουμένη,
ὑπέρτονον γῆρυμα φαινέτω στρατῷ.
πληρουμένου γὰρ τοῦδε βουλευτηρίου
σιγᾶν ἀρήγει, καὶ μαθεῖν θεσμοὺς ἐμοὺς
πόλιν τε πᾶσαν εἰς τὸν αἰανῆ χρόνον,
καὶ τῶνδ' ὅπως ἂν εὖ καταγνωσθῇ δίκη.

Χορός

ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτός, κράτει.
τί τοῦδέ σοι μέτεστι πράγματος, λέγε.

Ἀπόλλων

καὶ μαρτυρήσων ἦλθον· ἔστι γὰρ δόμων
ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος
ἐμῶν· φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος,
καὶ ξυνδικήσων αὐτός· αἰτίαν δ' ἔχω
τῆς τοῦδε μητρὸς τοῦ φόνου. σὺ δ' εἴσαγε
ὅπως ἐπίστᾳ, τήνδε κυρώσων δίκην.

Ἀθήνη

ὑμῶν ὁ μῦθος, εἰσάγω δὲ τὴν δίκην.